**Θουκυδίδου *Ἱστορίαι*, 3, 81.1-81.3**

**ΚΕΙΜΕΝΟ**

*Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο ἐπ᾽ οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον πρότερον ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες ἃς ἐπλήρωσαν ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐσβῆναι ἐκβιβάζοντες ἀπεχρῶντο, ἐς τὸ Ἥραιόν τε ἐλθόντες τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν καὶ κατέγνωσαν πάντων θάνατον. Οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειρον αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο, οἱ δ᾽ ὡς ἕκαστοι ἐδύναντο ἀνηλοῦντο.*

**ΠΑΡΑΤΗΡΗΣΕΙΣ**

**1.** Να μεταφράσετε στη Νέα Ελληνική το απόσπασμα: «*Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς … εἴ τινα λάβοιεν, ἀπέκτεινον·*»

**Μονάδες 30**

**5.** Για καθεμία από τις παρακάτω λέξεις του κειμένου, να γράψετε ένα **ομόρριζο ουσιαστικό** της Νέας Ελληνικής, απλό ή σύνθετο: ***ἐκομίζοντο, ὀφθῶσιν, ἤγαγον, κατέγνωσαν, ἀπήγχοντο***.

**Μονάδες 10**

**8.** Να συνδέσετε καθεμία από τις φράσεις της στήλης Α με μία φράση της στήλης Β, ώστε να ολοκληρώνεται ορθά το νόημά της.

| Α | Β |
|---|---|
| 1. Κατά τον Θουκυδίδη οι θεοί | α. επεμβαίνουν στις ιστορικές εξελίξεις. |
| | β. δεν παρεμβαίνουν στα ιστορικά γεγονότα. |
| 2. Οι δημηγορίες στο έργο του Θουκυδίδη ήταν λόγοι που εκφωνήθηκαν | α. κατά τη διάρκεια των πολεμικών επιχειρήσεων. |

| | |
|---|---|
| | β. μετά το τέλος των πολεμικών επιχειρήσεων. |
| 3. Στην εποχή του Θουκυδίδη οι ελληνικές πόλεις-κράτη | α. είχαν κοινές ονομασίες για τους μήνες του σεληνιακού έτους. |
| | β. είχαν διαφορετικές ονομασίες για τους μήνες του σεληνιακού έτους. |
| 4. Η διαίρεση του έργου του Θουκυδίδη σε 8 βιβλία | α. έγινε από μεταγενέστερους φιλολόγους. |
| | β. έγινε από τον ίδιο. |
| 5. Την προσπάθεια του Θουκυδίδη να διαφωτίσει πλήρως τα γεγονότα δηλώνει και | α. το γεγονός ότι συμπεριλαμβάνει μύθους, φήμες και διαδόσεις στην αφήγησή του. |
| | β. η εκτενής χρήση αιτιολογικών προτάσεων στο έργο του. |

**Μονάδες 10**